*Ἡ μὲν οὖν μάγων μυθολογία τοιοῦτον ἔχει τρόπον·* **(48.)** *Χαλδαῖοι δὲ τῶν πλανήτων, οὓς θεοὺς γενεθλίους καλοῦσι, δύο μὲν ἀγαθουργούς, δύο δὲ κακοποιούς, μέσους δὲ τοὺς τρεῖς ἀποφαίνουσι καὶ κοινούς. τὰ δ' Ἑλλήνων πᾶσί που δῆλα, τὴν μὲν ἀγαθὴν Διὸς Ὀλυμπίου μερίδα, τὴν δ' ἀποτρόπαιον Ἅιδου ποιουμένων, ἐκ δ' Ἀφροδίτης καὶ Ἄρεος Ἁρμονίαν γεγονέναι μυθολογούν-* D *των, ὧν ὁ μὲν ἀπηνὴς καὶ φιλόνεικος, ἡ δὲ μειλίχιος καὶ γενέθλιος. σκόπει δὲ τοὺς φιλοσόφους τούτοις συμφερομένους. Ἡράκλειτος μὲν γὰρ ἄντικρυς* (*B* 53) *'πόλεμον' ὀνομάζει 'πατέρα καὶ βασιλέα καὶ κύριον πάντων', καὶ τὸν μὲν Ὅμηρον εὐχόμενον* (*Σ* 107) *'ἔκ τε θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι' 'λανθάνειν' φησί* (*B* 94) *'τῇ πάντων γενέσει καταρώμενον ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων, ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους· εἰ δὲ μή, Κλῶθας μιν Δίκης ἐπικούρους ἐξευρήσειν'. Ἐμπεδοκλῆς δὲ* (*B* 18) *τὴν μὲν ἀγαθουργὸν ἀρχὴν 'Φιλότητα' καὶ 'Φιλίαν' πολλάκις, ⟨ἔτι⟩ δ' 'Ἁρμονίαν' καλεῖ 'θεμερῶπιν', τὴν δὲ χείρονα* (*B* 17 E v. 19) *'Νεῖκος οὐλόμενον' καὶ* (*B* 122 v. 2) *'Δῆριν αἱματόεσσαν'. ⟨καὶ⟩ οἱ μὲν Πυθαγορικοὶ διὰ πλειόνων ὀνομάτων κατηγοροῦσι τοῦ μὲν ἀγαθοῦ τὸ ἓν τὸ πεπερασμένον τὸ μένον τὸ εὐθὺ τὸ περισσὸν τὸ τετράγωνον ⟨τὸ ἴσον⟩ τὸ δεξιὸν τὸ λαμπρόν, τοῦ δὲ κακοῦ τὴν δυάδα τὸ ἄπειρον τὸ φερόμενον τὸ καμπύλον τὸ ἄρτιον τὸ ἑτερόμηκες τὸ ἄνισον τὸ ἀριστερὸν τὸ σκοτεινόν, ὡς ταύτας ἀρχὰς γενέσεως ὑποκειμένας· Ἀναξαγόρας δὲ*